λέγει, ἃ μὴ παραδέχεται μηδὲ τυχοῦσα ἀκοὴ ἀλλ' ἐπὶ τὸ κεκρυμμένον ἔρχεται. ἔχει δὲ ἐλάττωμα, ὅτι ἀπατᾷ νέαν ἀκοήν.

ἀμέλει ὁ Πλάτων διὰ τοὺς τοιούτους μύθους ἐκβάλλει ἐκ 5 τῆς ἑαυτοῦ πολιτείας τὸν Ὅμηρον. λέγει γάρ, ὅτι νέοι τοιούτων μύθων οὐ δύνανται γνησίως ἀκροᾶσθαι, ὥστε οὐ δεῖ τοὺς νέους ἀκούειν τοιούτων μύθων· οὐδὲ ἄχρι ὑπονοίας ἄγειν ἀντὶ τοῦ ἄχρι ἀλληγορίας, οὐδὲ γὰρ τῆς ἀλληγορίας ἀνέχονται· οὐ δεῖ οὖν αὐτοὺς ἀκούειν· οὐκ ἴσασι γὰρ οἱ νέοι κρίνειν, ὅ τι τε τοιοῦτόν ἐστι καὶ ὅ τι μή. καὶ ὃ ἂν κρατήσωσι δυσεκνίπτως ἔχουσιν· ἄλλους οὖν παρακελεύεται μύθους αὐτοὺς μανθάνειν. οὕτως μὲν οὖν οἱ ποιητικοί.

οἱ δὲ φιλόσοφοι μῦθοι τὸ ἀνάπαλιν ἔχουσιν, ὅτι κ' ἂν μείνῃ 6 τις ἐπὶ τῶν φαινομένων, οὐ βλάπτεται, ὑποτίθενται γὰρ ὑπὸ γῆν κολάσεις καὶ ποταμούς· εἰ οὖν καὶ ἄχρι τούτων μείνωμεν οὐ βλαπτόμεθα, ὥστε τοῦτο ἔχουσιν οὗτοι πλεονέκτημα, ὅτι κ' ἂν μείνωμεν ἐπὶ τοῦ φαινομένου, οὐ βλαπτόμεθα· ἔχουσι δὲ ἐλάττωμα, ὅτι ἐπειδὴ τὸ φαινόμενον αὐτῶν οὐ βλάπτει, πολλάκις ἐν αὐτοῖς ἀπομένομεν, καὶ οὐ ζητοῦμεν τὴν ἀλήθειαν. οὕτως οὖν διαφέρουσιν οἱ μῦθοι. γεγόνασι δὲ οὗτοι καὶ πρὸς τὸ μὴ ὡς ἔτυχεν παραδίδοσθαι τὰ δόγματα· ὥσπερ γὰρ ἐν ἱεροῖς τά τε ἱερατικὰ ὄργανα καὶ τὰ μυστήρια παραπετάσματα ἔχει, ἵνα μὴ οἱ ἀνάξιοι ὡς ἔτυχεν θεῶνται, οὕτως καὶ ἐνταῦθα προκαλύμματά εἰσιν οἱ μῦθοι τῶν δογμάτων, ἵνα μὴ γυμνὰ ὦσι καὶ βατὰ τοῖς βουλομένοις· καὶ ἄλλως οἱ φιλόσοφοι μῦθοι πρὸς τὰς τρεῖς ἐνεργείας τῆς ψυχῆς ὁρῶσιν. εἰ μὲν γὰρ παντάπασιν ἦμεν μόνως νοῖ μηδὲν ἔχοντες φαντασιῶδες, οὐκ ἂν ἐχρῄζομεν μύθων ἀεὶ τοῖς νοεροῖς ὁμιλοῦντες. εἰ δὲ πάλιν ἦμεν παντάπασιν ἄλογοι καὶ κατὰ φαντασίαν ζῶντες καὶ ταύτην μόνον πρόβολον ἔχοντες, ἔδει ἡμᾶς ἅπαντα τὸν βίον μυθώδη ἔχειν· ἐπειδὴ δὲ ἔχομεν καὶ νοῦν καὶ δόξαν καὶ φαντασίαν, πρὸς μὲν τὸν νοῦν ἐδόθησαν αἱ ἀποδείξεις, καί φησιν ὁ Πλάτων· ὅτι εἰ βούλει κατὰ νοῦν ἐνεργῆσαι, ἔχεις ἀποδεί-

4 Plat. reip. II 378 d 32 Plat. Gorg. 509 a

| | | |
|---|---|---|
| 32 | νοῦς | ἀπόδεξις |
| | δόξα | μαρτυρίαι ἐνδόξων |
| | φαντασία | μῦθοι |